17 Νοεμβρίου 2024

# † ΚΥΡΙΑΚΗ ΚΑ΄ (θ΄ ΛΟΥΚΑ)

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου, Ἐπισκόπου Νεοκαισαρείας (†270), τοῦ θαυματουργοῦ. Γενναδίου (†471) καὶ Μαξίμου Πατριαρχῶν Κωνσταντινουπόλεως

Ἦχος δ΄. Ἑωθινὸν ι΄.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Ὁ Διάκονος

Εὐλόγησον, Δέσποτα.

Ὁ Ἱερεὺς

Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης

Ἀμήν.

Ὁ Ἱερεὺς

Δόξα Σοι, ὁ Θεὸς ἡμῶν, δόξα Σοι.

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον, Ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

Ὁ Ἀναγνώστης

Ἀμήν. Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (τρίς)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός Σου.

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά Σου, ἐλθέτω ἡ Βασιλεία Σου, γενηθήτω τὸ θέλημά Σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεύς

Ὅτι Σοῦ ἐστιν ἡ Βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης

Ἀμήν.

καὶ τὰ τροπάρια.

Σῶσον, Κύριε, τὸν λαόν Σου καὶ εὐλόγησον τὴν κληρονομίαν Σου, νίκας τοῖς βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος καὶ τὸ σὸν φυλάττων διὰ τοῦ σταυροῦ Σου πολίτευμα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ὁ ὑψωθεὶς τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ Σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς Σου δώρησαι, Χριστὲ ὁ Θεός. Εὔφρανον ἐν τῇ δυνάμει Σου τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς κατὰ τῶν πολεμίων. Τὴν συμμαχίαν ἔχοιεν τὴν Σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Προστασία φοβερὰ καὶ ἀκαταίσχυντε, μὴ παρίδης ἀγαθή, τὰς ἱκεσίας ἡμῶν, πανύμνητε Θεοτόκε. Στήριξον ὀρθοδόξων πολιτείαν, σῷζε οὓς ἐκέλευσας βασιλεύειν καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην, διότι ἔτεκες τὸν Θεόν, μόνη εὐλογημένη.

Ὁ Ἱερεύς.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ Χορός, βαρείᾳ φωνῇ, μεθ’ ἑκάστην δέησιν.




Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεός ὑπάρχεις καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἦχος Δι

Ὁ Ἀναγνώστης

Ἀ μην Ἐν ὀνόματι Κυρίου, εὐλόγη σον Πα τερ

Ὁ Ἱερεύς

Δόξα τῇ Ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης

Ἀμήν.

Καὶ ἀναγιγνώσκει τὸν ἑξάψαλμον.

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.(τρίς)

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν Σου. (δίς)

Ψαλμός γ' (3ος)

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; Πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ. Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ. Σὺ δὲ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα καὶ ἐπήκουσέ μου ἐξ ὄρους Ἁγίου αὐτοῦ. Ἐγὼ δὲ ἐκοιμήθην καὶ ὕπνωσα. Ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου. Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι. Ἀνάστα, Κύριε, σῶσον με, ὁ Θεός μου. Ὅτι Σὺ ἐπάταξας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας. Τοῦ Κυρίου ἡ σωτηρία καὶ ἐπὶ τὸν λαόν Σου ἡ εὐλογία Σου.

Καὶ πάλιν

Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα. Ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

Ψαλμός λζ' (37ος)

Κύριε, μὴ τῷ θυμῷ Σου ἐλέγξεις με, μηδὲ τῇ ὀργῇ Σου παιδεύσεις με. Ὅτι τὰ βέλη Σου ἐνεπάγησάν με καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρα Σου. Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου, ἀπὸ προσώπου τῆς οργῆς Σου, οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου, ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου. Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, Ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην. Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου. Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου. Κύριε, ἐναντίον Σου πᾶσα ἡ ἐπιθυμία μου

καὶ ὁ στεναγμός μου ἀπὸ Σοῦ οὐκ ἀπεκρύβη. Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ. Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίον μου ἤγγισαν καὶ ἔστησαν καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν. Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας καὶ δολιότητας Ὅλην τὴν ἡμέραν ἐμελέτησαν. Ἐγὼ δὲ, ὡσεὶ κωφός, οὐκ ἤκουον καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ. Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς. Ὅτι ἐπὶ Σοί, Κύριε, ἤλπισα, Σὺ εἰσακούσῃ, Κύριε ὁ Θεός μου. Ὅτι εἶπον· μήποτε ἐπιχαρῶσι μοι οἱ ἐχθροί μου καὶ ἐν τῷ σαλευθῆναι πόδας μου, ἐπ' ἐμὲ ἐμεγαλορρημόνησαν. Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου ἐστί διὰ παντός. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου. Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμὲ καὶ ἐπληθύνθησαν οἱ μισοῦντες με ἀδίκως. Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην. Μὴ ἐγκαταλείπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ. Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε, τῆς σωτηρίας μου.

### Καὶ πάλιν

Μὴ ἐγκαταλείπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ. Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε, τῆς σωτηρίας μου.

## Ψαλμός ξβ' (62ος)

Ὁ Θεός, ὁ Θεός μου, πρὸς Σὲ ὀρθρίζω. Ἐδίψησέ Σε ἡ ψυχή μου, ποσαπλῶς Σοι ἡ σάρξ μου, ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ. Οὕτως ἐν τῷ Ἁγίῳ ὤφθην Σοι, τοῦ ἰδεῖν τὴν δύναμίν Σου καὶ τὴν δόξαν Σου. Ὅτι κρεῖσσον τὸ ἔλεός Σου ὑπὲρ ζωάς, τὰ χείλη μου ἐπαινέσουσί Σε. Οὕτως εὐλογήσω Σε ἐν τῇ ζωῇ μου καὶ ἐν τῷ ὀνόματί Σου ἀρῶ τὰς χεῖράς μου. Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου. Εἰ ἐμνημόνευόν Σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς Σέ. Ὅτι ἐγενήθης βοηθός μου καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων Σου ἀγαλλιάσομαι. Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω Σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά Σου. Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς, παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται. Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, Ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

### Καὶ πάλιν

Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς Σέ. Ὅτι ἐγενήθης βοηθός μου καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων Σου ἀγαλλιάσομαι. Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω Σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά Σου.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἀλληλούια, ἀλληλούια, ἀλληλούια. Δόξα Σοι ὁ Θεός.

Κύριε, ἐλέησον (τρίς)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## Ψαλμός πζ' (87ος)

Κύριε, ὁ Θεός τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον Σου. Εἰσελθέτω ἐνώπιόν Σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς Σου εἰς τὴν δέησίν μου. Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου καὶ ἡ ζωή μου τῷ ᾅδη ἤγγισε. Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον, ἐγενήθην ωσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος. Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι καὶ αὐτοὶ ἐκ τῆς χειρός Σου ἀπώσθησαν. Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου. Ἐπ' ἐμέ ἐπεστηρίχθη ὁ θυμός Σου καὶ πάντας τοὺς μετεωρισμούς Σου ἐπήγαγες ἐπ' ἐμέ. Ἐμάκρυνας τοὺς γνωστούς μου απ' ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς. Παρεδόθην καὶ οὐκ ἐξεπορευόμην, οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας. Ἐκέκραξα πρὸς Σέ, Κύριε, ὅλην τὴν ἡμέραν διεπέτασα πρὸς Σὲ τὰς χεῖράς μου. Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογήσονταί Σοι; Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός Σου καὶ τὴ ἀλήθειάν Σου ἐν τῇ ἀπωλείᾳ; Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά Σου καὶ ἡ δικαιοσύνη Σου ἐν γῇ ἐπιλελησμένῃ; Κἀγὼ πρὸς Σέ, Κύριε, ἐκέκραξα καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει Σε. Ἵνα τί, Κύριε, ἀπωθῇ τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν μου ἀπ' ἐμοῦ; Πτωχός εἰμι ἐγώ καὶ ἐν κόποις ἐκ νεότητός μου, ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην. Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί Σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με. Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ, ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα. Ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον καὶ πλησίον καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

## Καὶ πάλιν

Κύριε, ὁ Θεός τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον Σου. Εἰσελθέτω ἐνώπιόν Σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς Σου εἰς τὴν δέησίν μου.

## Ψαλμός ρβ' (102ος)

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον καὶ πάντα τὰ ἐντός μου, τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου. Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντα σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς. Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου. Ποιῶν ἐλεημοσύνας ὁ Κύριος καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις. Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσεῖ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος, οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ. Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν. Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοῖς φοβουμένοις αὐτόν. Καθόσον ἀπέχουσιν ἀνατολαὶ

ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμὼν. Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν, ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμὼν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν. Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει.Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ καὶ οὐχ ὑπάρξει καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ. Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν. Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσουσι τὴν διαθήκην αὐτοῦ καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ. Εὐλογεῖτε τὸν Κύριον πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ, εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

## Καὶ πάλιν

Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ, εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

## Ψαλμός ρμβ' (142ος)

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ Σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ Σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου Σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρός τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκρούς αἰῶνος καὶ ἠκηδίασεν ἐπ' ἐμέ τὸ πνεῦμά μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις Σου, ἐν ποιήμασι τῶν χειρῶν Σου ἐμελέτων. Διεπέτασα πρὸς Σὲ τὰς χεῖρας μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός Σοι. Ταχύ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν Σου ἀπ' ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστόν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός Σου, ὅτι ἐπὶ Σοὶ ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς Σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς Σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά Σου, ὅτι Σὺ εἶ ὁ Θεός μου. Τὸ πνεῦμά Σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνόματός Σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ Σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει Σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, Ὅτι ἐγώ δοῦλός Σου εἰμί.

## Καὶ πάλιν

Εἰσάκουσόν μου, Κύριε, ἐν τῇ δικαιοσύνῃ Σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου Σου. (δίς)

Τὸ πνεῦμά Σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἀλληλούια, ἀλληλούια, ἀλληλούια. Δόξα Σοι ὁ Θεός (μετὰ μετανοιῶν)

Ἀλληλούια, ἀλληλούια, ἀλληλούια. Δόξα Σοι ὁ Θεός

Ἦχος




Ὁ Διάκονος.

Ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός (μεθ' ἑκάστην δέησιν).

Κύριε ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης …

Ὁ Ἱερεὺς

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἦχος δ΄.

Ὁ α΄ χορός







Ὁ β΄ χορός




Θεὸς Κύριος…

Ὁ α΄ χορός




Ὁ β΄ χορός




Ὁ α΄ χορός

Το φαι δρον της Α να στα σε ως κη ρυγ μα εκ του Αγ
γε λου μα θου σαι αι του Κυ ρι ου μα θη τρι αι και την
προ γο νι κην α πο φα σιν α πορ ρι ι ψα σαι τοις
Α πο στο λοις καυ χω με ναι ε λε γον ε σκυ λευ ται
ο θα να τος η γερ θη Χρι στος ο Θε ος δω ρου με
νος τω κο σμω το με γα ε λε ος

Ἦχος Γα

Ὁ β΄ χορός.

Δο ξα Πα τρι και Υι ω και Α γι ω Πνευ μα τι

Ἀπολυτίκιον Ἦχος πλ. δ'

Ταις προ σευ χαις γρη γο ρων ταις

των θαυ μα των ερ γα σι αις εγ χαρ τε ρων ε πω νυ

μι αν ε κτη σω τα κα α το ορ θω μα α τα αλλ λα

πρε σβευ ε Χρι στω τω Θε ω πα α τερ Γρη γο ρι

ε φω τι σαι τας ψυ χας η μων μη πο τε υ πνω σω μεν

εν α μαρ τι αις ει εις θα να τον

## Ὁ α΄ Χορὸς

Και νυν και α ει και εις τους αι ω νας των αι ω

νων α μην

Ο δι η μας γεν νη θεις εκ Παρ θε νου και σταυ ρω σιν

υ πο μει να ας α γα α θε ο θα να τω τον θα να τον

σκυ λευ σας και ε ε γερ σιν δει ξας ως Θε ος μη πα ρι δης

ους ε πλα σας τη χει ει ρι σου δει ξον την φι λαν θρω

πι αν Σου ε λε η η μον δε ξαι την τε κου σαν Σε Θε




Ὁ Διάκονος τὴν μικρὰν συναπτήν.

Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ α΄χορός.




Ὁ Διάκονος

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Ὁ α΄χορός.




Ὁ Διάκονος

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας,

Ὁ χορός χαμηλοφώνως

(Ὑπεραγία, Θεοτόκε, σῶσον ἡμᾶς.)

μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ α΄χορός.




Ὁ Ἱερεύς·

Ὁ Ἱερεύς·

Ὅτι Σὸν τὸ κράτος, καὶ Σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## Ἦχος δ΄.

### Ὁ α΄ χορός




### Μετὰ τὴν α΄στιχολογίαν, Κάθισμα




## Ἦχος




### Ὁ β΄ χορός




Ἦχος δ΄. Δι

Ὁ α΄ χορός

Και νυν και α ει και εις τους αι ω νας των αι ω
νων α μην

Το απ αι ω νος α πο κρυ φον και Αγ γε λοις α γνω
στον μυ στη ρι ον δι α σου Θε ο το κε τοις ε πι γης
πε φα νε ρω ται Θε ος εν α συγ χυ τω ε νω σει σαρ κου με
νος και Σταυ ρον ε κου σι ως υ περ η μων κα τα δε ξα με
νος δι ου α να στη σας τον πρω το ο πλα στον ε σω
σεν εκ θα να του τας ψυ χας η τας ψυ χας η μων

Μετὰ τὴν β΄στιχολογίαν

Ἦχος δ΄. Δι

Ὁ β΄ χορός

Α νε στης ως α θα να τος α πο του Α δου Σωτηρ
συ νη γει ρας τον κο σμον Σου τη Α να στα σει τη Ζη Χρι


στε ο Θε ος η μων ε θραυ σας εν ι σχυ ι του θα να του το
κρα τος ε δει ξας ε λε η μον την Α να στα σιν πα σι
δι ο Σε και δο ξα ζο μεν μο νε φι λαν θρω πε
Ἦχος Δι
Ὁ α΄ χορός
Δ ο ξα Πα τρι και Υι ω και Α γι ω Πνευ μα
τι
Ε κ των α νω κα α τελ θων των υ ψω μα των Γα βρι ηλ
και τη πε τρα προ ο σελ θων εν θα η πε τρα της ζω ης λευ
χει μω νων α νε κραυ γα ζε ται αις κλαι ου ου ου σαι αις
Παυ σα σθε ε η μεις της θρη νω ω δους κραυ γης ε ε χου
σαι αι α ει το ευ συμ πα α θη τον ον γαρ ζη τει τε

κλαι ου σαι αι θαρ σει τε ως α λη θως ε ξε γη γε ερ ται

αι δι ο ο βο α α α τε τοις Α πο στο ο ο λοις ο

τι α νε στη η ο Κυ υ υ υ ρι ος

Ὁ β΄ χορός

Και νυν και α ει και εις τους αι ω νας των αι ω

νων α μην

Κα τε πλα γη σα αν Α γνη παν τες Αγ γε λων οι χο ροι το

μυ στη ρι ο ον της σης κυ ο φο ρι ας το φρι κτον πως ο

τα παν τα συ νε χων νευ μα τι μο ο ο νω ω αγ κα λαις

ως βρο τος ταις σαις συ νε ε χε ται και δε ε χε ται αι αρ

χην ο προ αι ω ω νι ος και γα λου χει ται συμ πα σαν ο τρε

ε φων πνο η α φα τω Χρι στο ο ο τη η τι ι και




## Εὐλογητάρια

Ἦχος λ π Κε Μέλος σύντομον

Ὁ α´ χορός




Ὁ β´ χορός


Ε υ λο γη τος ει Κυ ρι ε δι δα ξον με τα δι
και ω μα τα Σου
Τ ι τα μυ υ ρα συμ πα θως τοις δα κρυ σιν ω μα θη τρι αι
κιρ να τε ο α στρα πτων εν τω Τα φω Αγ γε λος προσ
ε φθεγ γε το ταις μυ ρο φο ο ροις ι δε τε υ μεις τον Τα α φον
και η σθη τε ο Σω τηρ γαρ εξ α νε ε στη του μνη μα
τος

Ὁ α΄ χορός


Ε υ λο γη τος ει Κυ ρι ε δι δα ξον με τα δι
και ω μα τα Σου


Λ ι αν πρω ι Μυ ρο φο ροι ε δρα μον προς το
μνη μα Σου θρη νο λο γου σαι αλλ επ ε στη προς
αυ τας ο Αγ γε λος και ει ει πε θρη νου ο και ρος
πε παυ ται μη κλαι ε τε την Α να στα σιν δε Α πο
στο λοις ει πα τε
Ὁ β΄ χορός
Ε υ λο γη τος ει Κυ ρι ε δι δα ξον με τα δι
και ω μα τα Σου
Μ υ ρο φο ροι γυ ναι κες με τα μυ ρων ελ θου ου
σαι προς το μνη μα σου ου Σω τερ εν η χουν το Αγ γε
λου τρα νως προς αυ τας φθεγ γο με ε νου τι με τα νε

κρων τον ζω ων τα λο γι ζε σθε ως Θε ος γαρ εξ α

νε ε στη του μνη μα τος

Ὁ α΄ χορός

Δο ξα Πα τρι ι και Υι ω και Α γι ω Πνευ μα τι

Προ σκυ νου μεν Πα τε ε ρα και το του του Υι

ο ον τε και το Α α γι ον Πνευ μα την Α γι

αν Τρι α δα εν μι α τη ου σι ι α

συν τοις Σε ρα φειμ κρα ζον τες το Α α γι ος Α

γι ος Α γι ος ει Κυ ρι ε

Ὁ β΄ χορός

Και νυν και α ει και εις τους αι ω νας των αι ω νων α

μην




Ὁ α΄ χορός




Ὁ β΄ χορός

τὸ αὐτό·

Ὁ α΄ χορός

Τὸ τρίτον




Ὁ Διάκονος

Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ β΄χορός.




Ὁ Διάκονος

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Ὁ β΄χορός.




Ὁ Διάκονος

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας,

Ὁ χορός χαμηλοφώνως

(Ὑπεραγία, Θεοτόκε, σῶσον ἡμᾶς.)

μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ β΄ Χορός.




Ὁ Ἱερεύς·

Ὅτι ηὐλόγηταί Σου τὸ ὄνομα, καὶ δεδόξασταί Σου ἡ βασιλεία τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης ἢ ὁ β΄ Χορὸς

Ἀμήν.

Ἡ Ὑπακοὴ Ἦχος δ΄

Τὰ τῆς σῆς παραδόξου Ἐγέρσεως, προδραμοῦσαι αἱ Μυροφόροι, τοῖς Ἀποστόλοις ἐκήρυττον Χριστέ, ὅτι ἀνέστης ὡς Θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Ἀναβαθμοί. Ἀντίφωνον α΄.

Ἦχος δ΄.

Ὁ α΄ Χορὸς




Ὁ β΄ Χορὸς




Ὁ α΄ Χορὸς




Ἀντίφωνον Β΄

Ὁ β΄ Χορὸς




Ὁ α΄ Χορὸς




Ὁ β΄ Χορὸς




Ἀντίφωνον Γ΄

Ὁ α΄ Χορὸς


(Β) (Μ) (Β)
Η καρ δι α μου προς Σε Λο γε υ ψω θη τω και ου δεν
θελ ξει με των του κο ο σμου τερ πνον προς χα μαι ζη λι
αν
Ὁ β΄ Χορὸς
(Μ) (Β) (Μ)
Ε πι την μη τε ρα αυ του ως ε χει τις στορ γην ε
(Β) (Δ) (Β)
πι τω Κυ ρι ω θερ μο ο τε ρον φιλ τρον χρε ω στου μεν
Ὁ α΄ Χορὸς
(Β) (Μ)
Δ ο ξα Πα τρι και Υι ω και Α γι ω Πνευ μα τι
(Μ) (Β) (Μ) (Β)
και νυν και α ει και εις τους αι ω νας των αι ω νων
α μην
(Μ) (Β) (Π)
Α γι ω Πνευ μα τι θε ο γνω σι ας πλου τος θε ω ρι
(Β) (Μ) (Δ)
ας και σο φι ας παντα γαρ εν του τω τα πα τρω α δογ μα
τα
Ὁ β΄ Χορὸς

(Β)

ο Λο γος εκ κα λυ πτει

Τὸ Προκείμενον

Ὁ α΄ Χορὸς

(Μ) (Β)

Α να στα κυ ρι ε βο η θη σον η μιν και λυ

(Μ) (Δ) (Β)

υ τρω σαι η μας ε νε κεν της δο ξης του ο νο μα τος

Σου

Ὁ β΄ Χορὸς τὸ αὐτό·

Ὁ α΄ Χορὸς

Ὁ Θεός, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν.

(Μ) (Β)

Α να στα κυ ρι ε βο η θη σον η μιν και λυ

(Μ) (Δ) (Μ)

υ τρω σαι η μας ε νε κεν της δο ο ξης του ο νο μα το

ος Σου ου ου ου ου

ΤΑΞΙΣ ΕΩΘΙΝΟΥ ΕΥΑΓΓΕΛΙΟΥ

Ὁ διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ α΄ Χορὸς

Κ υ ρι ε ε λε η σον

Ὁ ἱερεύς·

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ α΄ Χορὸς






Ὁ β΄ Χορὸς
τὸ αὐτό·
Ὁ α΄ Χορὸς




Ὁ β΄ Χορὸς




Ὁ διάκονος·

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Ὁ Χορὸς




Ὁ διάκονος·

Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ ἱερεύς·

Εἰρήνη πᾶσι.

Ὁ Χορὸς




Ὁ ἱερεύς·

Ἐκ τοῦ κατὰ Ἰωάννην (κα´ 1-14) ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ διάκονος·

Πρόσχωμεν.

Ὁ Χορὸς




Ὁ ἱερεὺς ἀναγινώσκει
τὸ ἐνδιάτακτον ἑωθινὸν Εὐαγγέλιον.

Ἑωθινὸν ι´

Τῷ καιρῷ ἐκείνῳ, ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν, ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος· ἐφανέρωσε δὲ οὕτως. Ἦσαν ὁμοῦ Σίμων Πέτρος, καὶ Θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ Ναθαναὴλ ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας, καὶ οἱ τοῦ Ζεβεδαίου, καὶ ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο. Λέγει αὐτοῖς Σίμων Πέτρος· Ὑπάγω ἁλιεύειν. Λέγουσιν αὐτῷ· Ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοί. Ἐξῆλθον καὶ ἀνέβησαν εἰς τὸ πλοῖον εὐθύς, καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐπίασαν οὐδέν. Πρωΐας δὲ ἤδη γενομένης ἔστη ὁ Ἰησοῦς εἰς τὸν αἰγιαλόν· οὐ μέντοι ᾔδεισαν οἱ μαθηταὶ ὅτι Ἰησοῦς ἐστι. Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· Παιδία, μή τι προσφάγιον ἔχετε; ἀπεκρίθησαν αὐτῷ· Οὔ. Ὁ δὲ εἶπεν αὐτοῖς· Βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε. Ἔβαλον οὖν, καὶ οὐκέτι αὐτὸ ἑλκύσαι ἴσχυσαν ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων. Λέγει οὖν ὁ μαθητὴς ἐκεῖνος, ὃν ἠγάπα ὁ Ἰησοῦς, τῷ Πέτρῳ· Ὁ Κύριός ἐστι. Σίμων οὖν Πέτρος ἀκούσας ὅτι ὁ Κύριός ἐστι, τὸν ἐπενδύτην διεζώσατο· ἦν γὰρ γυμνός· καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν· οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον· οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ᾽ ὡς ἀπὸ πηχῶν διακοσίων, σύροντες τὸ δίκτυον τῶν ἰχθύων. Ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν, βλέπουσιν ἀνθρακιὰν κειμένην καὶ ὀψάριον ἐπικείμενον καὶ ἄρτον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων ὧν ἐπιάσατε νῦν. Ἀνέβη Σίμων Πέτρος καὶ εἵλκυσε τὸ δίκτυον ἐπὶ τῆς γῆς, μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντήκοντα τριῶν· καὶ τοσούτων ὄντων οὐκ ἐσχίσθη τὸ δίκτυον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Δεῦτε ἀριστήσατε. Οὐδεὶς δὲ ἐτόλμα τῶν μαθητῶν ἐξετάσαι αὐτὸν σὺ τίς εἶ, εἰδότες ὅτι ὁ Κύριός ἐστιν. Ἔρχεται οὖν ὁ Ἰησοῦς καὶ λαμβάνει τὸν ἄρτον καὶ δίδωσιν αὐτοῖς καὶ τὸ ὀψάριον ὁμοίως. Τοῦτο ἤδη τρίτον ἐφανερώθη ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ ἐγερθεὶς ἐκ νεκρῶν.

Ὁ α´ Χορὸς




Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης·

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον Κύριον Ἰησοῦν, τὸν μόνον ἀναμάρτητον. Τὸν σταυρόν σου, Χριστέ, προσκυνοῦμεν καὶ τὴν ἁγίαν σου ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοὶ προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ. Σταυρὸν γὰρ ὑπομείνας δι᾿ ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

Οἱ χοροὶ ψάλλουν ἀντιφωνικῶς κατὰ στίχον τὸν ν´ ψαλμόν, προτάσσοντες (ἐν Κυριακῇ) τὴν προφώνησιν Ἐλεῆμον.

Ἦχος Δι

Ὁ α´ Χορὸς




Ὁ β´ Χορὸς




Ὁ α´ Χορὸς




Ὁ β΄ Χορὸς




Ὁ α΄ Χορὸς




Ὁ β΄ Χορὸς




Ὁ Ἱερεὺς ἐξέρχεται τῆς Ὡραίας Πύλης, βαστάζων ταὸ Ἱερὸν Εὐαγγέλιον πρὸς προσκύνησιν.

Ὁ α΄ Χορὸς


Ρ αν τι εις με υσ σω πω και κα θα ρι σθη η σο
μαι πλυ νεις με και υ περ χι ο να λευ καν θη σο μαι
Ὁ β΄ Χορὸς
Α κου τι εις μοι α γαλ λι α σιν και ευ φρο
συ υ νην α γαλ λι α σον ται ο στε α τε τα πει νω με
ε να
Ὁ α΄ Χορὸς
Α πο ο στρε ψον το προ σω πον Σου α πο των α
μαρ τι ων μου και πα σας τας α νο μι ας μου ε ξα λει ψον
Ὁ β΄ Χορὸς
Κ αρ δι αν κα θα ραν κτι σον εν ε μοι ο Θε ος και
Πνε ευ μα ευ θες εγ ακι νι σον εν τοις ε γκα τοις μου
Ὁ α΄ Χορὸς


Η α πορ ρι ι ψης με α πο του προ σω που Σου
και το Πνευ μα Σου το Α α γι ον μη αν τα νε λης απ ε
μου ου
Ὁ β΄ Χορὸς
Α πο ο δος μοι την α γαλ λι α σιν του σω τη
ρι ι ου σου και πνευ μα τι η γε μο νι κω ω στη ρι
ξον με
Ὁ α΄ Χορὸς
Δι ι δα α ξω α νο μους τας ο δου ους Σου και α
σε βεις ε πι Σε ε πι στρε ψου σι
Ὁ β΄ Χορὸς
Ρυ υ σαι με εξ αι μα των ο Θε ος ο Θε ος της σω τη
ρι ι ας μου α γαλ λι α σε ται η γλω ωσ σα μου την
δι και ο συ υ νην Σου
Ὁ α΄ Χορὸς


Κ υ ρι ε τα χει λη μου α νοι οι ξεις και το στο μα μου
α ναγ γε λει την αι νε σιν Σου
Ὁ β΄ Χορὸς
Θ τι ει η θε λη σας θυ σι αν ε δω κα αν ο
λο καυ τω μα τα ουκ ευ δο κη η σεις
Ὁ α΄ Χορὸς
Θ υ σι α τω Θε ω πνε ευ μα συν τε τριμ με ε νον
καρ δι ι αν συν τε τριμ με νην και τε τα πει νω με νην ο Θε
ος ουκ ε ξου δε νω ω σεις
Ὁ β΄ Χορὸς
Α γα θυ νον Κυ ρι ε εν τη ευ δο κι α Σου την Σι
ων και οι κο δο μη θη τω τα τει χη Ι ε ρου σα
λη ημ
Ὁ α΄ Χορὸς


Το τε ευ δο κη σεις θυ σι αν δι και ο συ υ νης
α να φο ρα αν και ο λο καυ τω μα τα
Ὁ β΄ Χορὸς
Το τε α νοι οι σου σιν ε πι το θυ σι α στη ρι ον Σου
μο σχους και ε λε η σον με ο Θε ο ος
Ὁ α΄ Χορὸς
Δο ξα Πα τρι και Υι ω και Α γι ω Πνευ μα τι
Ταις των Α πο στο λω ων πρε σβει αις Ε ε λε η μον ε
ξα λει ψον τα πλη θη των ε μων ε ε γκλη μα των
Ὁ β΄ Χορὸς
Και νυν και α ει και εις τους αι ω νας των αι ω νων α
μην




Ὁ α΄ Χορὸς




Τὰ αὐτὰ εἰς ἀργὸν μέλος

Ὁ α΄ Χορὸς



πλη η η θη των ε ε μω ω ων ε ε γκλη μα α α α

των

Ὁ β΄ Χορὸς

Και νυν και α α ει και εις τους αι ω νας των αι ω νων

α α μη η ην ταις της Θε ο το κου πρε ε σβει ει ει αις

Ε ε ε ε λε ε η η η μον ε ξα α α λει ψο ο ον τα

πλη η η θη των ε ε μω ω ων ε ε γκλη μα α α α

των

Ὁ α΄ Χορὸς

Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου εξ α λειψον το α νο ο ο μη μα α μου

Α να στας ο ο Ι η η σους α πο του Τα α α α α α φου κα α θω ω ως προ ο ει ει ει πεν ε ε δω κεν η η μιν την αι ω νι ι ον ζω ω ην και με ε γα ε ε λε ε ε ο ο ο ος

Ὁ ἱερεύς

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου, καὶ εὐλόγησον τῆν κληρονομίαν Σου· ἐπίσκεψαι τὸν κόσμον Σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας χριστιανῶν ὀρθοδόξων· καὶ κατάπεμψον ἐφ’ ἡμᾶς τὰ ἐλέη Σου τὰ πλούσια, πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν Ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν καὶ οἰκουμενικῶν Διδασκάλων καὶ Ἱεραρχῶν, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου του Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, Πατριαρχῶν Ἀλεξανδρείας, Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος Ἐπισκόπου Τριμυθοῦντος τῶν θαυματουργῶν, τῶν Ἁγίων ἐνδόξων μεγάλων Μαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου καὶ Δημητρίου τοῦ Μυροβλήτου, Θεοδώρων Τήρωνος καὶ Στρατηλάτου, Μηνᾶ τοῦ θαυματουργοῦ, τῶν Ἱερομαρτύρων Χαραλάμπους και Ἐλευθερίου, τῶν Ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῆς Ἁγίας καὶ ἐνδόξου Μεγαλομάρτυρος καὶ πανευφήμου Εὐφημίας, τῶν Ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν Ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακείμ καὶ Ἄννης, τ... Ἁγί... (τοῦ Ναοῦ), τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου, Ἐπισκόπου Νεοκαισαρείας, τοῦ Ὁσίου καὶ Ὁμολογητοῦ Λαζάρου τοῦ Ζωγράφου, τῶν Ὁσίων Ζαχαρίου τοῦ Σκυτοτόμου, Ἰωάννου, Γενναδίου τοῦ Βατοπεδινού, Λογγίνου, Ἰουστῖνος, Γενναδίου καὶ Μαξίμου Πατριαρχῶν Κωνσταντινουπόλεως, ὧν καὶ τὴν μνήμην ἐπιτελοῦμεν· καὶ πάντων Σου τῶν Ἁγίων· ἱκετεύομέν Σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων Σου καὶ ἐλέησον ἡμᾶς.

Ὁ α΄ Χορὸς




Ὁ β΄ Χορὸς

τὸ αὐτό.

Ὁ α΄ Χορὸς




Ὁ β΄ Χορὸς




Ὁ ἱερεύς

Ἐλέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ Μονογενοῦς Σου Υἱοῦ, μεθ' οὗ εὐλογητός εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## ΟΙ ΚΑΝΟΝΕΣ

### Ὠδὴ α΄.

### Ὁ Ἀναστάσιμος

Ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Ἦχος λέγετος Βου

Ὁ α΄ Χορὸς




Ὁ Εἱρμός·




σε ως χερ σιν του Α μα ληκ την δυ να μιν εν τη ε ρη μω
ε τρο πω σα το
Ὁ β΄ χορός
Δ ο ξα τη Α γι α Α να στα σει Σου κυ ρι ε
Υ ψω ω θης την η με τε ραν εκ πτω σιν ε πα νορ θου με
νος εν τω α χραν τω ξυ λω του Σταυ ρου την εν ξυ λω ι ω
ω με ε νος πα νω λε θρι αν Δε σπο τα ως α γα θος και
παν το δυ να μος
Ὁ α΄ χορός
Δ ο ξα τη Α γι α Α να στα σει Σου κυ ρι ε
Ε ν τα φω σω μα τι κως εν Α δη δε με τα ψυ χης ως Θε ος
εν πα ρα δει σω δε με τα λη στου και εν θρο νω υ πη ηρ
χες Χρι στε με τα Πα τρος και Πνευ μα τος πα αν τα πλη ρων
ο α πε ρι γρα πτος

Ὁ β΄ χορός

Υ περ α γι α Θε ο το κε σω σον η μας

Θεοτοκίον

Α σπο ο ρως το του Πα τρος βου λη μα τι εκ θει ου Πνευ μα τος τον του Θε ου συν ει λη φας Υι ον και σαρ κι α πε κυ υ η η σας τον εκ Πα τρος α μη το ρα και δι η μας εκ σου α πα το ρα

καὶ τοῦ Ἁγίου ὁ παρών, οὗ ἡ Ἀκροστιχίς.

Τῷ τερατουργῷ Γρηγορίῳ τὸν ἔπαινον ὑφαίνω.

Θεοφάνους.

Ἦχος Γα

Ὁ α΄ Χορός

Α ρ μα τη λα την Φα ρα ω ε βυ θι σε τε ρα τουρ γου ου σα πο τε Μω σα ι κη ρα α βδος σταυ ρο τυ πως πλη ξα σα και δι ε λον τι θα λασ σαν Ισ ρα ηλ δε φυ γα δα πε ζον ο δι ι την δι ε σω σαν α σμα τω Θε ω α να μελ πον τα

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῶν σῶν θαυμάτων ἐν ἐμοὶ Γρηγόριε, θείαν ἐνέργειαν, περιφανῶς Πάτερ, καὶ τανῦν ἀνάδειξον, ἐκ τοῦ βυθοῦ ῥυόμενος, τῶν πταισμάτων με μάκαρ, καὶ σῇ φωτίζων λαμπρότητι, ὅπως ἐπαξίως ὑμνήσω σε.

Ὁ α´ Χορός

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς ἐντρεχὴς καὶ νουνεχὴς καὶ φρόνιμος, τὸ τῆς ψυχῆς εὐγενές, τῶν τῆς σαρκὸς μάκαρ, ἡδονῶν προέκρινας, τὰ τῆς σοφίας δόγματα, φιλοπόνως συλλέγων, δι' ὧν ἐκείνη Γρηγόριε, τρέφεται Θεῷ πλησιάζουσα.

Ὁ β´ Χορός

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὴν σωφροσύνην ἀδελφὴν κτησάμενον, ὡς συνεργὸν τῶν καλῶν, σὲ καθορῶν ὄφις, ὁ δεινὸς Γρηγόριε, σοὶ τοὺς βασκάνους ἤγειρεν, οὓς κατῄσχυνας Πάτερ, μακροθυμίᾳ τὸ γύναιον, πάθει συσχεθὲν ἰασάμενος.

Ὁ α´ Χορός




Ἐπὶ τῆς ξένης διατρίβων Ὅσιε, πᾶσιν αἰδέσιμος, δι' ἀρετὴν ὤφθης, εὐσεβὴς φιλόθεος, θαυματουργίας χάρισμα, πρὸς Θεοῦ δεδεγμένος, δι' ἧς γνωρίζῃ ὡς ἥλιος, λάμψας ἐν τῷ κόσμῳ Γρηγόριε.

Ὁ β´ Χορός

Θεοτοκίον




Ῥίζης Ἁγνὴ βασιλικῆς ἐβλάστησας, καὶ Βασιλέα Χριστόν, τὸν τοῦ Θεοῦ Λόγον, ὑπὲρ νοῦν καὶ ἔννοιαν, σεσαρκωμένον τέτοκας, ἐξ ἁγνῶν σου αἱμάτων, διττὸν τήν φύσιν ὑπάρχοντα, καὶ μοναδικὸν τὴν ὑπόστασιν.

Ὠδὴ γ´

## Ὁ Ἀναστάσιμος

Ἦχος πλ. δ΄ (pl. = πλάγιος) Βου

### Ὁ α΄ χορός

Ε υ φραι νε ται ε πι Σοι η Εκ κλη σι α Σου Χρι στε κρα ζου
σα Συ μου ι σχυς Κυ ρι ε και κα τα φυ γη και στε ρε ω
μα

### Ὁ β΄ χορός

Δ ο ξα τη Α γι α Α να στα σει Σου κυ ρι ε

(Β) (Π)
Τ ο ξυ λον το της ζω ης η νο η τη και α λη θη ης αμ
(Β)
πε λος ε πι Σταυ ρου ου κρε μα ται πα σιν αμ βρο σι αν πη γα
ζου σα

### Ὁ α΄ χορός

Δ ο ξα τη Α γι α Α να στα σει Σου κυ ρι ε

Ω ς με γας και φο βε ρος ως το του Α δου κα θε λων φρυ

αγ μα και ως Θε ο ος α φθαρ τος νυν σω μα τι κως ε ξε

γη γερ ται

Ὁ β΄ χορός

Υ περ α γι α Θε ο το κε σω σον η μας

Σ υ μο νη τοις ε πι γης των υ περ φυ σιν α γα θω ων προ

ξενος μη τηρ Θε ου ου γε γο νας ο θεν σοι το χαι ρε προ

σα γω μεν

καὶ τοῦ Ἁγίου

Ἦχος Γα

Ὁ α΄ Χορός

Θ στε ρε ω σας κατ αρ χας τους ου ρα νους εν συ νε

σει και την γην ε πι υ δα των ε δρα α σας εν τη πε

τρα με Χρι στε της Εκ κλη σι ας στη ρι ξον ο τι ουκ ε στι

πη ην Σου Α γι ος μο νε φι λαν θρω πε

Ὁ β´ Χορός

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀνακαθάρας σου τὸν νοῦν, τῆς τῶν παθῶν τρικυμίας, καὶ πανσόφου θεωρίας ἐμπλήσας, ἀνεδείχθης εὐπρεπές, σοφίας ἐνδιαίτημα, καὶ προφητείας χάριν, κατεπλουτίσθης Γρηγόριε.

Ὁ α´ Χορός

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῇ θεοπνεύστῳ συγγραφῇ, προσομιλήσας παμμάκαρ, καὶ ποικίλης πολιτείας ἰδέαν, ἐκλεξάμενος σοφῶς. Ἓν ἀρετῆς εἰκόνισμα, ἐν σεαυτῷ θεόφρον, ἀπηκριβώσω Γρηγόριε.

Ὁ β´ Χορός

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ θεοφάντωρ μυηθείς, τῇ θείᾳ μυσταγωγίᾳ, τὸ μυστήριον τῆς θεολογίας, κατεφώτισεν ἡμᾶς, Τριάδα ὁμοούσιον, ὁμοφυῆ τε σέβειν, ἄκτιστον καὶ συναΐδιον.

Ὁ α´ Χορός

Δο ξα Πα τρι και Υι ω και Α γι ω Πνευ μα τι

Ὑπὸ Θεοῦ ὁδηγηθείς, ὡς πόθῳ τοῦτον ζητήσας, τὴν ἁγνὴν καὶ Θεοτόκον Μαρίαν, καὶ τὸν γόνον τῆς Βροντῆς, μυσταγωγοῦς ἐκέκτησο, τὸ τῆς Τριάδος φέγγος, σὲ θεορρῆμον διδάσκοντας.

Ὁ β´ Χορός

Και νυν και α ει και εις τους αι ω νας των αι ω

νων α μην

Θεοτοκίον

Ῥάβδον βλαστήσασαν Χριστόν, τὸ ἄνθος τῆς ἀφθαρσίας, καὶ χρυσοῦν θυμιατήριον πάντες, σὲ γινώσκομεν Ἁγνή, θείας οὐσίας φέρουσαν, ἐν ταῖς ἀγκάλαις Κόρη, ἄνθρακα θεομακάριστε.

Ἀπὸ τρίτης

Ὁ Διάκονος τὴν μικρὰν συναπτήν.

Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ α΄ χορός.




Ὁ Διάκονος

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Ὁ α΄ χορός.




Ὁ Διάκονος

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας,

Ὁ χορός χαμηλοφώνως

(Ὑπεραγία, Θεοτόκε, σῶσον ἡμᾶς.)

μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ α΄ χορός.




Ὁ Ἱερεύς·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἦχος γ΄. 


Ὁ α΄ Χορὸς

Α μην

Κάθισμα

Θείας πίστεως

Νέος γέγονας Μωσῆς τοῖς ἔργοις, πλάκας πίστεως ἐπὶ τοῦ ὄρους, τῆς μυστικῆς θεοφανείας δεξάμενος, νομοθετήσας λαοῖς τὴν εὐσέβειαν, τοῦ τῆς Τριάδος μυστηρίου Γρηγόριε· ὅθεν ἅπαντες, τιμῶμεν πιστοὶ τὴν μνήμην σου, αἰτοῦντες διὰ σοῦ τὸ μέγα ἔλεος.

Ὁ β΄ Χορὸς

Δ ο ξα Πα τρι και Υι ω και Α γι ω Πνευ μα τι

Ὁ α΄ Χορὸς

Κ αι νυν και α ει και εις τους αι ω νας των αι ω νων α μην

Ὁ β΄ Χορὸς

Θεοτοκίον

Θεία γέγονας σκηνὴ τοῦ Λόγου, μόνη Πάναγνε Παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπερέχουσα, τὸν ὑπὲρ πάντας ἐμὲ γοῦν γενόμενον, ῥερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον, πρεσβειῶν σου ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

Ὠδὴ δ΄ [1]

Ὁ Ἀναστάσιμος

Ἦχος λ΄ τος Βου

Ὁ β΄ χορός

Ὁ Εἱρμὸς

---

1 Αἱ ᾠδαὶ δ΄, ε΄ καὶ ς΄ συνήθως εἰς τὰς ἐνορίας δὲν ψάλλονται, ὁπότε εἰς τὸ τελευταῖον κάθισμα γίνεται κατάληξις καὶ ὁ Διάκονος λέγει τὴν μικρὰν συναπτήν (σελ. 54).

Ε παρ θεν τα Σε ι δου ου σα η Εκ κλη σι α ε πι Σταυ
ρου τον η λι ον της δι και ο συ νης ε στη εν τη τα α
ξει αυ της ει κο ο τως κραυ γα ζου σα δο ξα τη δυ να α μει
Σου κυ ρι ε

Ὁ α΄ χορός

Δ ο ξα τη Α γι α Α να στα σει Σου κυ ρι ε

Ἀνελήλυθας τὰ πάθη μου θεραπεύσων, ἐπὶ Σταυροῦ τῷ πάθει τῆς ἀχράντου σαρκός σου, ἣν ἑκὼν ἐφόρεσας, διὸ Σοὶ κραυγάζομεν. Δόξα τῇ δυνάμει Σου Κύριε.

Ὁ β΄ χορός

Δ ο ξα τη Α γι α Α να στα σει Σου κυ ρι ε

Ἀναμαρτήτου ὁ θάνατος γεγευμένος, ζωοποιοῦ τε σώματος τοῦ Σοῦ ἐπαξίως, Δέσποτα νενέκρωται, ἡμεῖς δὲ βοῶμέν Σοι. Δόξα τὴ δυνάμει Σου, Κύριε.

Ὁ α΄ χορός

Υ περ α γι α Θε ο το κε σω σον η μας

Θεοτοκίον

Ἀπειρογάμως ἐκύησας ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης παρθενεύουσα πάλιν, ὅθεν ἀσιγήτοις φωναῖς, τὸ χαῖρέ σοι Δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν.

καὶ τοῦ Ἁγίου

Ἦχος λ π Γα

Ὁ β΄ Χορός




Ὁ α´ Χορός

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Γῆν τὴν καλήν, Πάτερ θεόφρον ἐζήλωσας, καὶ τοῦ λόγου, σπόρον εἰσδεξάμενος, εἰς ἑκατὸν εὐαγγελικῶς, πολλαπλασιάζεις, εἰσέτι καὶ νῦν Γρηγόριε, προσάγων διδαχαῖς σου, τοὺς πιστῶς μελῳδοῦντας, τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Ὁ β´ Χορός

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς ἀστραπή, Πάτερ ἐκλάμψας ὁ βίος σου, τῶν δαιμόνων, πλάνην ἐφυγάδευσε· τῷ γὰρ φωτί, τῆς σῆς ἀρετῆς, τὸ ἐκείνων σκότος, προσομιλῆσαι οὐκ ἴσχυσε· διὸ ὁ νεωκόρος, ψυχοφθόρου ἀπάτης, κυλισθεὶς ὥσπερ λίθος φωτίζεται.

Ὁ α´ Χορός

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Γνόφον φωτός, τοῦ θειοτάτου θεάσασθαι, ἠξιώθης, νόμον τε θεόγραφον, ὡς Μωϋσῆς, Πάτερ εἰληφώς, τῆς θεολογίας, τὸ ἀκριβὲς ἐκπεπαίδευσαι, ἐντεῦθεν νομοθέτης, τῇ Χριστοῦ Ἐκκλησίᾳ, ἀνεδείχθης θεόφρον Γρηγοριε.

Ὁ β´ Χορός




Ῥητορικήν, ἐρεσχελίαν ἐξέκλινας, καὶ τῷ λόγῳ, Πάτερ τῷ τῆς χάριτος, καταυγασθείς, ἀποστολικήν, ὄντως ἐξουσίαν, κατὰ δαιμόνων ἐπλούτησας· τὴν σὴν γὰρ δραπετεύει, ἀπαστράπτουσαν αἴγλην, ὁ τοῦ σκότους προστάτης Γρηγόριε.

Ὁ α΄ Χορός

Και νυν και α ει και εις τους αι ω νας των αι ω νων α μην

Θεοτοκίον

Ἡ κιβωτός, πόρρωθεν σὲ προετύπωσε, δεξαμένη, νόμον τὸν θεόγραφον, τὴν ἐν γαστρί, τὸν ζωαρχικόν, Λόγον συλλαβοῦσαν, ἀνερμηνεύτως Πανάμωμε, τὸν τρέφοντα πλουσίως, τὰς ψυχὰς τῶν βοώντων,

Ὁ β΄ Χορός

τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Ὠδὴ ε΄

Ὁ Ἀναστάσιμος

Ἦχος Γ΄τος Βȣ

Ὁ α΄ χορός

Ὁ Εἱρμὸς

Συ Κυ ρι ε μου φως εις τον κο σμον ε λη λυ υ θας φως α γι ον ε πι στρε φον εκ ζο φω δους α γνοι οι ας τους πι στει α νυ μνουν τας Σε

Ὁ β΄ χορός

Δο ξα τη Α γι α Α να στα σει Σου Κυ ρι ε

Σὺ Κύριε πρὸς γῆν, συμπαθῶς κατελήλυθας, Σὺ ὕψωσας τὴν πεσοῦσαν, τῶν ἀνθρώπων οὐσίαν, ἐν ξύλῳ ἀναρτώμενος.

Ὁ α΄ χορός

Δ ο ξα τη Α γι α Α να στα σει Σου κυ ρι ε

Σὺ ἦράς μου Χριστέ, τῶν πταισμάτων τὸ ἔγκλημα, Σὺ ἔλυσας τὰς ὀδύνας, τοῦ θανάτου Οἰκτίρμον, τῇ θείᾳ Ἀναστάσει Σου.

Ὁ β΄ χορός

Υ περ α γι α Θε ο το κε σω σον η μας

Θεοτοκίον

Σὲ ὅπλον ἀρραγές, κατ᾽ ἐχθρῶν προβαλλόμεθα, σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

καὶ τοῦ Ἁγίου

Ἦχος Γα

Ὁ α΄ Χορός

Ι να τι με α πω σω α πο του προ σω που Σου το φως το

α δυ τον και ε κα λυ ψε ε με το αλ λο τρι ον σκο

τος τον δει λαι ον αλλ ε πι στρε ψον με και προς το φως

ως των εν το λων Σου τας ο δους μου κατ ευ θυ νον δε ο

μαι

Ὁ β΄ Χορός

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Γεωργίᾳ σῶν λόγων, τὰς κεχερσωμένας καρδίας ὡμάλισας, καὶ τὸν θεῖον σπόρον, ἐν αὐταῖς Ἱεράρχα κατέβαλες, καὶ καρπὸν πολύχουν, τῷ Λυτρωτῇ τὴν σωτηρίαν, τῶν πιστῶν θεορρῆμον προσήγαγες.

Ὁ α΄ Χορός

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ Θεοῦ παραστάτης, ζήλῳ πυρακτούμενος χρίει σε Φαίδιμος, Ἱερέα Πάτερ, τῷ Θεῷ τῷ τὰ σύμπαντα βλέποντι, εὐσεβῶς θαρρήσας, καὶ τῇ σεπτῇ σου πολιτείᾳ, πεποιθὼς θεορρῆμον Γρηγόριε.

Ὁ β΄ Χορός

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥοαῖς τῶν σῶν δογμάτων, τὰς εἰδωλικὰς πυρπολήσεις κατέσβεσας, καὶ ταῖς διδαχαῖς σου, τοὺς πιστοὺς ἐβεβαίωσας Πάνσοφε, ἀναβὰς εἰς ὕψος, ὡς Σαμουὴλ ταῖς θεωρίαις, καὶ ὡς δένδρον φανεὶς τοῖς διώκουσι.

Ὁ α΄ Χορός




Ἱεράρχα θεόφρον, ταῖς σαῖς ἱκεσίαις δεινῶν με λυτρούμενος, τῶν ἐμῶν πταισμάτων, τὸ χειρόγραφον Πάτερ διάρρηξον, ἱερεὺς ὑπάρχων, καὶ ἐκ Θεοῦ τὴν ἐξουσίαν, εἰληφὼς ἀφιέναι τὰ πταίσματα.

Ὁ β΄ Χορός




Θεοτοκίον

Ὡραιώθης Παρθένε, τοῖς τῆς παρθενίας σου ἀχράντοις κάλλεσι, καὶ τῆς πρώτης Εὔας, περιέστειλας αἶσχος τὸ δύσμορφον, τὸν Χριστὸν τεκοῦσα, περιβολὴν ἀθανασίας,

Ὁ α΄ Χορός

χαριζόμενον τοῖς σὲ γεραίρουσιν.

Ὠδὴ ς΄

Ὁ Ἀναστάσιμος

Ἦχος Γ΄τος λ Βου

Ὁ β΄ χορός

Ὁ Εἱρμὸς

Θυ σω ωΣοι με τα φω νης αι νε ε σε ως Κυ ρι ε η

Εκ κλη σι α βο α Σοι εκ δαι μο νων λυ θρου κε κα

θαρ με νη τω δι οι οι κτον εκ της πλευ ρας Σου ρε ευ σαν τι

αι μα τι

Ὁ α΄ χορός

Δο ξα τη Α γι α Α να στα σει Σου κυ ρι ε

Ἀνῆλθες, ἐν Σταυρῷ δυναστείαν ζωσάμενος, καὶ συμπλακεὶς τῷ τυράννῳ, ὡς Θεὸς ἐξ ὕψους κατέρραξας, τὸν Ἀδὰμ δέ, ἀηττήτῳ παλάμῃ ἀνέστησας.

Ὁ β΄ χορός

Δο ξα τη Α γι α Α να στα σει Σου κυ ρι ε

Ἀνέστης, ἐξαστράπτων ὡραῖος ἐκ τάφου Χριστέ, καὶ διεσκέδασας πάντας, τοὺς ἐχθροὺς τῇ θείᾳ σου δυναστείᾳ, καὶ τὰ πάντα, ὡς Θεός, εὐφροσύνης ἐπλήρωσας.

Ὁ α΄ χορός

Υ περ α γι α Θε ο το κε σω σον η μας

Θεοτοκίον

Ὢ θαῦμα, τῶν ἁπάντων θαυμάτων καινότερον! ὅτι Παρθένος ἐν μήτρᾳ, τὸν τὰ σύμπαντα περιέποντα, ἀπειράνδρως συλλαβοῦσα, οὐκ ἐστενοχώρησεν.

καὶ τοῦ Ἁγίου

Ἦχος Γα

Ὁ β΄ Χορός

Ι λα σθη τι μοι Σω τηρ πολ λαι γαρ αι α νο μι αι μου

και εκ βυ θου των κα κων α να γα γε δε ο μαι προς Σε

γαρ ε βο η σα και ε πα κου σον μου ο Θε ος της σω τη ρι

ας μου

Ὁ α΄ Χορός

Τὸ αὐτό·

Ὁ β΄ Χορός

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὴν λίμνην θαυματουργῶν, ἀδελφοκτόνον ἐξήρανας, καὶ ποταμοῦ τὰς ὁρμάς, ἀνέστειλας Πάνσοφε, τὴν ῥάβδον πηξάμενος, τὴν καὶ παραχρῆμα, δενδρωθεῖσαν θείῳ νεύματι.

Ὁ α΄ Χορός

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ ζῆλος ὁ τοῦ Θεοῦ, κατέφαγέ σε Γρηγόριε· μὴ καρτερῶν γὰρ ὁρᾶν, Θεὸν ὑβριζόμενον, λαὸν ματαιόφρονα, ταῖς σαῖς ἱκεσίαις, θεορρῆμον ἐξωλόθρευσας.

Ὁ β΄ Χορός

Δ ο ξα Πα τρι και Υι ω και Α γι ω Πνευ μα τι

Νενέκρωται βουληθείς, ἐξουθενεῖν σε ὁ δείλαιος, Ἑβραῖος ὁ δυσσεβής, Θεοῦ σε δοξάζοντος, θεόφρον Γρηγόριε, τῶν αὐτοῦ δογμάτων, πληρωτὴν ἀναδεικνύμενον.

Ὁ α΄ Χορός

Και νυν και α ει και εις τους αι ω νας των αι ω

νων α μην

Θεοτοκίον

Ἐπῆλθε τὸ παντουργόν, ἐπὶ σὲ Πνεῦμα Πανάμωμε, καὶ Λόγος ὁ τοῦ Θεοῦ, ἐν σοὶ κατεσκήνωσε, καὶ σάρξ ἐχρημάτισεν, ἀνεκδιηγήτως, διαμεὶνας ἀναλλοίωτος.

Ὁ Διάκονος

Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ β΄χορός.




Ὁ Διάκονος

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Ὁ β΄χορός.




Ὁ Διάκονος

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας,

Ὁ χορός χαμηλοφώνως

(Ὑπεραγία, Θεοτόκε, σῶσον ἡμᾶς.)

μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ β΄ Χορός.




Ὁ Ἱερεύς·

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης ἢ ὁ β΄ Χορός·

Ἀμήν.

Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ὁ Σωτὴρ καὶ ῥύστης μου, ἀπὸ τοῦ τάφου, ὡς Θεὸς ἀνέστησεν, ἐκ τῶν δεσμῶν τοὺς γηγενεῖς, καὶ πύλας ᾅδου συνέτριψε, καὶ ὡς Δεσπότης, ἀνέστη τριήμερος.

Ὁ Οἶκος.

Τὸν ἀναστάντα ἐκ νεκρῶν, Χριστὸν τὸν ζωοδότην, τριήμερον ἐκ τάφου καὶ πύλας τοῦ θανάτου σήμερον συνθλάσαντα, τῇ δυνάμει τῇ αὐτοῦ, τὸν ᾅδην τε νεκρώσαντα, καὶ τὸ κέντρον τοῦ θανάτου συντρίψαντα, καὶ τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ ἐλευθερώσαντα, ὑμνήσωμεν πάντες οἱ γηγενεῖς, εὐχαρίστως βοῶντες αἶνον ἐκτενῶς· Αὐτὸς γὰρ ὡς μόνος κραταιὸς Θεὸς καὶ Δεσπότης, ἀνέστη τριήμερος.

Σ υ ν α ξ ά ρ ι ο ν

Τῇ ιζ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου, Ἐπισκόπου Νεοκαισαρείας τοῦ θαυματουργοῦ.

Στίχοι

- Ὁ Γρηγόριος, θαυματουργῶν καὶ πάλαι,
- Θεῷ παραστάς, θαυματουργεῖ τι πλέον.
- Ἑβδομάτῃ δεκάτῃ τε μέγας θάνε θαυματουργος.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου καὶ Ὁμολογητοῦ Λαζάρου τοῦ Ζωγράφου.

Στίχοι

- Οὐ ζωγραφεῖ σε Λάζαρος καὶ νῦν  Λόγε,
- Ἀλλὰ βλέπει σε ζῶντα, μὴ ληπτὸν χρόαις.

Τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τῶν Ὁσίων Ζαχαρίου τοῦ Σκυτοτόμου, καὶ Ἰωάννου, καὶ διήγησις ὠφέλιμος.

Ὁ Ὅσιος Γεννάδιος, ὁ ἐν τῇ μονῇ τοῦ Βατοπεδίου ἀσκήσας, καὶ δοχειάρης (τροφοδότης) αὐτῆς ὤν, καὶ τὸ θαῦμα τοῦ ἔλαιον ἀναβλύσαντος ἐκ κενοῦ πίθου ἰδών, ἐν εἰρήνῃ τελειοῦται.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ὅσιος Λογγῖνος ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι

- Ἔχεις ἀθλητὴν Χριστὲ Λογγῖνον μέγαν.
- Ἔχεις δὲ καὶ Λογγῖνον ἀσκητὴν μέγαν.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἅγιος Γεννάδιος, Πατριάρχης Κωνσταντινουπόλεως, ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι

- Ὁ Γεννάδιος εὗρε τὴν Ἐδὲμ στέφος,
- Φανεὶς νοητὴν πρὸς παλαίστραν γεννάδας.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἅγιος Μάξιμος, Πατριάρχης Κωνσταντινουπόλεως, ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι

· Μάξιμος ὠδίνησε, καὶ τεκὼν τέκνα,

· Πράξεις ἁγνάς, ἄπεισιν ἁγνὸς ἐκ βίου.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ὅσιος Ἰουστῖνος ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι

· Ἀσκητικὸς ἄγρυπνος ὀφθαλμὸς μύει,

· Ἰουστῖνος, τὸ θαῦμα τῶν ἠσκηκότων.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις, ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

## Ὠδὴ ζ΄ [2]

## Ὁ Ἀναστάσιμος

Ἦχος λ΄ τος Βου χ

Ὁ α΄ χορός

Ὁ Εἱρμὸς




Ὁ β΄ χορός




---

2 Αἱ ᾠδαὶ ζ΄ καὶ η΄ εἰς τὰς ἐνορίας δὲν ψάλλονται, ὁπότε εἰς μετὰ τὴν ἀποφώνησιν τοῦ Συναξαρίου ψάλλονται αἱ Καταβασίαι (σελ. 61).

Πρὸς ἀφθαρσίαν ἡ ἀνθρωπότης ἀνακέκληται, θείῳ λουσαμένη αἵματι τοῦ Χριστοῦ, εὐχαρίστως ἀναμέλπουσα. Εὐλογημένος εἶ, ἐν τῷ Ναῷ τῆς δόξης Σου Κύριε.

Ὁ α΄ χορός




Ὡς ζωηφόρος, ὡς Παραδείσου ὡραιότερος, ὄντως καὶ παστάδος πάσης βασιλικῆς, ἀναδέδεικται λαμπρότερος, Χριστὲ ὁ τάφος Σου, ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως.

Ὁ β΄ χορός




Θεοτοκίον

Τὸ τοῦ Ὑψίστου, ἡγιασμένον θεῖον σκήνωμα, Χαῖρε, διὰ σοῦ γὰρ δέδοται ἡ χαρά, Θεοτόκε τοῖς κραυγάζουσιν. Εὐλογημένη σὺ ἐν γυναιξίν, ὑπάρχεις Πανάμωμε Δέσποινα.

καὶ τοῦ Ἁγίου

Ἦχος Γα

Ὁ α΄ Χορός




Ὁ β΄ Χορός

Τὸ αὐτό·

Ὁ α΄ Χορός

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Πατέρων τὸ καύχημα, καὶ Διδασκάλων τὸ σεμνολόγημα, φωστὴρ τῆς Ἐκκλησίας, τῆς εὐσεβείας στῦλος ἀκράδαντος, σὺ καθωράθης, κραυγάζων Γρηγόριε· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ β΄ Χορός

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀστράψας τοῖς θαύμασι, τὴν οἰκουμένην ἐφωταγώγησας· διὰ τοῦτο Θεόφρον, συναθροισθέντες σὲ μακαρίζομεν, οἱ τῶν σῶν λόγων, τρυφῶντες καὶ ψάλλοντες· Εὐλογητός ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ α΄ Χορός




Ἰάματα Πάνσοφε, τοῖς ἀσθενοῦσι πᾶσιν ἐπήγασας· ἐξεχύθη γὰρ χάρις, δαψιλεστάτη σοῦ ἐν τοῖς χείλεσι, θαυματουργίας, δι' ἧς ἀνακράζομεν· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ β΄ Χορός




Θεοτοκίον

Νῦν πάντα πεπλήρωται, φωτὸς τοῦ θείου, διὰ σοῦ Πάναγνε· σὺ γὰρ πύλη ἐφάνης, δι' ἧς τῷ κόσμῳ Θεὸς ὡμίλησε, καταφωτίζων τοὺς πίστει κραυγάζοντας· Εὐλογητός ὁ Θεός,

Ὁ α΄ Χορός

ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η΄

Ὁ Ἀναστάσιμος

Ἦχος πλ. δ΄ τος Βου

Ὁ β΄ χορός

Ὁ Εἱρμὸς

Χ ει ει ρας εκ πε τα σας Δα νι ηλ λε ον των χα σμα
τα εν λακ κω ε φρα ξε πυ ρος δε δυ να μιν ε σβε σαν α ρε
την πε ρι ζω σα με ε νοι οι ευ σε βει ας ε ρα σται παι
αι δες κραυ γα ζον τες ευ λο γει τε πα αν τα τα ερ γα
Κυ ρι ου τον Κυ ρι ον

Ὁ α΄ χορός

Δ ο ξα τη Α γι α Α να στα σει Σου κυ ρι ε

Χεῖρας ἐκπετάσας ἐν Σταυρῷ, τὰ ἔθνη ἅπαντα ἐπισυνήγαγες, καὶ μίαν ἔδειξας Δέσποτα, Ἐκκλησίαν ἀνυμνοῦσάν Σε, τοῖς ἐπὶ γῆς καὶ οὐρανοῦ, συμφώνως ψάλλουσιν. Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὁ β΄ χορός

Δ ο ξα τη Α γι α Α να στα σει Σου κυ ρι ε

Λευχείμων ὠράθη γυναιξί, τῷ ἀπροσίτῳ φωτὶ τῆς Ἀναστάσεως, καταστραπτόμενος Ἄγγελος. Τὶ τὸν ζῶντα ἐν τῷ τάφῳ βοῶν, ἐπιζητεῖτε ὡς θνητόν, ὄντως ἠγέρθη Χριστός, ὢ βοῶμεν. Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ὁ α΄ χορός

Υ περ α γι α Θε ο το κε σω σον η μας

Θεοτοκίον

Σὺ μόνη ἐν πάσαις γενεαῖς, Παρθένε Ἄχραντε, Μήτηρ ἐδείχθης Θεοῦ, σὺ τῆς θεότητος γέγονας, ἐνδιαίτημα Πανάμωμε, μὴ φλογισθεῖσα τῷ πυρί, τοῦ ἀπροσίτου φωτός, ὅθεν πάντες σὲ εὐλογοῦμεν, Μαρία Θεόνυμφε.

καὶ τοῦ Ἁγίου

Ἦχος Γα

Ὁ β΄ Χορός




Ὁ α΄ Χορός

Τὸ αὐτό·

Οἱ διὰ σοῦ πλουτήσαντες, τῆς Τριάδος τὴν ἔλλαμψιν, τῆς ὁμοουσίου, καὶ σεπτῆς Γρηγόριε, τὴν σὴν νῦν πανήγυριν, ἐπιτελοῦντες χάριτι, θαυματουργικῇ, καταλαμφθῆναι αἰτοῦμεν, βοῶντες· Τὸν Δεσπότην, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ β΄ Χορός

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νεοφανὲς ὡς ἔσοπτρον, δεδεγμένος πανόλβιε, τὰς μαρμαρυγάς, τῆς ἀρχικῆς Θεότητος, τὸν κόσμον ἐφώτισας, ἀντανακλάσεις πέμπων φωτός, τοῖς μελῳδικῶς, ὀρθοδοξίᾳ βοῶσιν· Οἱ Παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

## Ὁ β´ Χορός

Δ ο ξα Πα τρι και Υι ω και Α γι ω Πνευ μα τι

Ὑπὸ Θεοῦ σκεπόμενος, εὐσεβείας ὑπόθεσις, τοῖς θεοσεβέσιν, ἐφρουρήθης πάνσοφε, εἰς ὄρος ἱστάμενος, ὡς νομοθέτης ἄλλος Μωσῆς, τὸν Δημιουργόν, καὶ Λυτρωτήν ἐκδιδάσκων, Γρηγόριε κραυγάζεις· ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

## Ὁ α´ Χορός

Κ αι νυν και α ει και εις τους αι ω νας των αι ω
νων α μην

## Θεοτοκίον

Φωτὸς ἀδύτου γέγονας, ἐνδιαίτημα Πάναγνε, ταῖς τῆς παρθενίας, καλλοναῖς ἀστράπτουσα, καὶ πάντας κατηύγασας, τοὺς Θεοτόκον σε ἀληθῆ, καθομολογοῦντας, ἐκ ψυχῆς καὶ βοῶντας· Οἱ Παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

## Καταβασίαι τῶν Εἰσοδίων τῆς Θεοτόκου.

Ἦχος λ´ τος Βυ

## Ὁ α´ χορός. ᾨδὴ α´

(Β)
Α νοι ξω το στο μα μου και πλη ρω θη σε ται Πνευ μα
τος και λο γον ε ρευ ξο μαι τη βα σι λι δι μη τρι και οφ
(Π) (Β)
θη σο μαι φαι δρως πα νη γυ ρι ζων και α α σω γη θο με
νος ταυ της την Ει σο δον

## Ὁ β΄ χορός. Ὠδὴ γ΄

Τους σου ους υ μνο λο γους Θε ο το ο κε ως ζω σα
και α φθο νος πη γη θι α σον σγκ κρο τη σαν τας πνευ μα
τι κον στε ρε ω ω σον καν τη σε πτη Ει σο δω σου

## Ὁ α΄ χορός.

στε φα νων δο ξης α ξι ω σον

## Ὁ β΄ χορός. Ὠδὴ δ΄

Την α νε ξι χνι α στον θει αν βου λην την εκ της Παρ
θε νου σαρ κω σε ε ως Σου του Υ ψι στου ο Προ φη της Αβ βα
κουμ κα τα νο ων ε κραυ γα ζε δο ξα τη δυ να μει Σου Κυ ρι
ε

## Ὁ α΄ χορός Ὠδὴ ε΄

Ε ξε στη τα συμ παν τα εν τη σε πτη Ει σο δω σου συ
υ γαρ α πει ρο γα με Παρ θε νε εν δον ει ση ηλ θες εν τω


Να ω ω του Θε ου ω ως πε ερ κα θα ρω τα τος Να ος
πα σι τοις υ μνου σι σε σω τη ρι ι αν βρα βευ ον τα
Ὁ β΄ χορός Ὠδὴ ς΄
Την θει αν ταυ την και παν τι μον τε λουν τες ε ορ την οι θε
ο φρο νες της Θε ο μη το ρος δευ τε τας χει ρας κρο τη
σω μεν τον εξ αυ της τε χθε εν τα Θε ον δο ξα ζον τες
Ὁ α΄ χορός Ὠδὴ ζ΄
Ουκ ε λα α τρε ευ σαν τη κτι σει οι θε ο φρο νες πα
ρα τον κτι ι σα αν τα αλ λα πυ ρος α πει λην αν δρει
ως πα τη σαν τες χαι ρον τες ε ψαλ λον υ περ υ υ μνη η
τε ο των πα τε ρων Κυ ρι ος και Θε ος ευ λο γη τος ει
Ὁ β΄ χορός Ὠδὴ η΄
Αι νου μεν ευ λο γου μεν και προσ κυ νου μεν τον Κυ ρι ον




Ὁ διάκονος·

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις μεγαλύνομεν.

Ὁ διάκονος·

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.

Ἡ Τιμιωτέρα (3)

Ἦχος λ΄ ͵τος Βου χ

Ὁ α΄ χορός.

---

3 Ἡ Τιμιωτέρα ψάλλεται κανονικῶς εἰς τὸν ἦχον τοῦ α΄ Κανόνος (διὰ τὰς Κυριακὰς τοῦ Ἀναστασίμου. Ἐὰν δὲν ψαλῇ ἡ θ΄ ᾠδή, τότε ἡ Τιμιωτέρα ψάλλεται τῶν Καταβασιῶν.


(Μ)
Με γα λυ νει η ψυ χη μου τον Κυ ρι ον
(Β)
και η γαλ λι α σε το πνευ μα μου ε πι τω Θε
ω ω τω Σω τη ρι μου
Την τι μι ω τε ραν των χε ρου βιμ και εν δο ξο
τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι α φθο
ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε ο το ο κον
σε με γα λυ νο μεν

Ὁ β΄ χορός.


(Β)
Ο τι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης Αὐτοῦ, ἰδοὺ γὰρ α πο
του νυν μα κα ρι ου σι με πα σαι αι γε νε αι
Την τι μι ω τε ραν των χε ρου βιμ και εν δο ξο
τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι α φθο

ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε ο το ο κον

σε με γα λυ νο μεν

Ὁ α΄ χορός.

(Β)

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατὸς, καὶ ἅγιον τὸ ὄνομα Αὐτοῦ, καὶ τὸ ἔλεος Αὐτοῦ εις γε νε αν και γε νε αν τοις φο βου με

νοις Αυ τον

Την τι μι ω τε ραν των χε ρου βιμ και εν δο ξο

τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι α φθο

ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε ο το ο κον

σε με γα λυ νο μεν

Ὁ β΄ χορός.

(Β)

Ἐποίησε κράτος ἐν βραχίονι Αὐτοῦ, διεσκόρπισεν υ περ η φα

νους δι α νοι α καρ δι ας αυ των

Την τι μι ω τε ραν των χε ρου βιμ και εν δο ξο
τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι α φθο
ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε ο το ο κον
σε με γα λυ νο μεν

Ὁ α´ χορός.

(Β)

Καθ εἷλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας εν
ε πλη σεν α γα θων και πλου του ουν τας εξ απ ε στει λε
κε νους

(Μ) (Μ) (Δ)

Την Τι μι ω τε ραν των χε ρου βιμ και εν δο ξο τε
(Π)
ραν α συγ κρι τως των Σε ρα φειμ την α δι α φθο ρως
(Β)
Θε ον Λο γον τε κου σαν την ον τως Θε ο το κον Σε
με γα λυ νο μεν

Ὁ β´ χορός.

(Β)

Ἀντελάβετο Ἰσραὴλ παι_δός αὐτοῦ μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε

πρὸς τοὺς πατέρας ἡμῶν, τω Α βρα αμ και τω σπερ μα τι αυ του

ε ως αι ω νος

(Μ) (Μ) (Δ)

Την Τι μι ω τε ραν των χε ρου βιμ και εν δο ξο τε

(Π)

ραν α συγ κρι τως των Σε ρα φειμ την α δι α φθο ρως,

(Β)

Θε ον Λο γον τε κου σαν την ον τως Θε ο το κον Σε

με γα λυ νο μεν

## Ὠδὴ θ΄ (4)

Ὁ Ἀναστάσιμος

Ἦχος Γ'τος Βου

Ὁ α΄ χορός

Ὁ Εἱρμὸς

4 Ἡ θ΄ ᾠδὴ εἰς τὰς ἐνορίας δὲν ψάλλεται, ὁπότε ἀκολουθεῖ ἡ θ΄ ᾠδὴ τῶν Καταβασιῶν (σελ. 71)..




Ὁ β΄ χορός




Ὅλον μὲ ἀνείληφας ὅλος, ἐν συναφείᾳ ἀσυγχύτῳ, ὅλῳ μοὶ διδοὺς ὁ Θεός μου, τὴν σωτηρίαν διὰ τοῦ πάθους Σου, ὁ ἐν Σταυρῷ ὑπέμεινας, σωματικῶς δι' εὐσπλαγχνίαν πολλήν.

Ὁ α΄ χορός




Οἱ Σοὶ Μαθηταὶ καθορῶντες, ἀνεωγμένον Σου τὸν τάφον, καὶ τὰς θεοφόρους σινδόνας, κεκενωμένας τῇ Ἀναστάσει Σου, σὺν τῷ Ἀγγέλῳ ἔλεγον. Ὄντως ἐγήγερται ὁ Κύριος!

Ὁ β΄ χορός

